τῖνος καὶ Πλάτων. ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου (στρατηγῶν δ' ἐτύγχανε) ⟨τὴν⟩ γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς ʽᾤμωξας ἄν' ἔφησεν ʽεἰ μὴ λίαν ὠργιζόμην'. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθείς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας ʽτοῦτον' ἔφησεν ἀπελθὼν ʽκρότησον· ἐγὼ γὰρ πάνυ θυμοῦμαι'. χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα φαίη τις ἄν. οἶδα κἀγώ. πειρατέον οὖν
E εἰς ὅσον οἷόν τ' ἐστὶ τούτοις παραδείγμασι χρωμένους τὸ πολὺ τῆς ἀκρατοῦς καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς· οὐδὲ γὰρ ἐς τἆλλα ἐνάμιλλοι ταῖς ἐκείνων ἐσμὲν οὔτ' ἐμπειρίαις οὔτε καλοκαγαθίαις. ἀλλ' οὐδὲν ἧττον ἐκείνων, ὥσπερ θεῶν ἱεροφάνται καὶ δᾳδοῦχοι τῆς σοφίας ὄντες, ὅσαπέρ ἐστιν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειρῶμεν. τὸ τοίνυν τῆς γλώττης κρατεῖν (περὶ τούτου γάρ, ὥσπερ ὑπεθέμην, λοιπὸν εἰπεῖν) εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τῆς ἀληθείας. σοφὸν γὰρ εὔκαιρος σιγὴ καὶ παντὸς λόγου κρεῖττον. καὶ διὰ τοῦτό μοι δοκεῖ τὰς μυστηριώδεις τελετὰς
F οἱ παλαιοὶ κατέδειξαν, ἵν' ἐν ταύταις σιωπᾶν ἐθισθέντες ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν τὸν ἀπὸ τῶν θεῶν μεταφέρωμεν φόβον. καὶ γὰρ αὖ σιωπήσας μὲν οὐδεὶς μετενοήσε, λαλήσαντες δὲ παμπληθεῖς. καὶ τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον. μυρίους δ' ἔγωγ' οἶδ' ἀκούσας ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας διὰ τὴν τῆς
11 γλώττης ἀκρασίαν. ὧν τοὺς ἄλλους παραλιπὼν ἑνὸς ἢ δυεῖν τύπου ἕνεκεν ἐπιμνησθήσομαι. τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην Σωτάδης εἰπὼν

ʽεἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς'

ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους καὶ τῆς ἀκαίρου